# ΗΔΕ ΑΚΟΛΟΥΘΙΑ

ΤΟΥ ΑΓΙΟΥ ΙΕΡΟΜΑΡΤΥΡΟΣ

ΚΑΙ ΙΣΑΠΟΣΤΟΛΟΥ

# ΚΟΣΜΑ

ΑΝΑΤΙΘΕΤΑΙ ΤΗι ΙΕΡΑι
ΜΝΗΜΗι.
ΤΟΥ ΑΟΙΔΙΜΟΥ ΕΥΕΡΓΕΤΟΥ *μοι* ΚΥ-
ΡΙΟΥ ΠΟΛΥΚΑΡΠΟΥ ΠΡΩΗΝ ΠΡΩ-
ΤΟΣΥΓΚΕΛΛΟΥ ΤΗΣ ΑΓΙΑΣ ΜΕΓΑ-
ΛΟΜΑΡΤΥΡΟΣ ΠΑΡΘΕΝΟΥ
*ΚΑΙ* ΠΑΝΣΟΦΟΥ

## ΑΙΚΑΤΕΡΙΝΗΣ

ΕΝ ΙΩΑΝΝΙΝΟΙΣ.

*Ὁ ταπεινὸς κατὰ*
*πνεῦμα υἱός Θωμᾶς.*

*Ἐκ τῆς Τυπογραφίας*
*Νήφωνος Μητροπολίτου.*

1860.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ
ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

# ΑΚΟΛΟΥΘΙΑ

## ΚΑΙ ΒΙΟΣ

### ΤΟΥ ΑΓΙΟΥ ΙΕΡΟΜΑΡΤΥΡΟΣ
### ΚΑΙ ΙΣΑΠΟΣΤΟΛΟΥ

# ΚΟΣΜΑ

*Τοῦ ἐν Ἀλβανίᾳ μαρτυρήσαντος ἐν ἔτει 1779. κατὰ μῆνα Αὔγουστον.*
*Συντεθεῖσα χάριν εὐλαβείας καὶ τύποις ἐκδοθεῖσα κόποις καὶ ἀναλώμασι.*

ΘΩΜΑ Α. ΠΑΣΧΙΔΟΥ.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ... ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

*ΕΝ ΒΟΥΚΟΥΡΕΣΤΙΟΙΣ,*
*Ἐκ τῆς Τυπογραφίας Νήφωνος Μητροπολίτου.*

1860.

Ὁ ἀψάμενος ὀστέων μάρτυρος, λαμβάνει τινα μετουσίαν ἁγιασμοῦ ἐκ τῆς τῷ σώματι προσεδρευούσης χάριτος. Τίμιος οὖν ἐναντίον Κυρίου ὁ θάνατος τῶν ὁσίων αὐτοῦ.

(Βασίλ. ἐν ψαλ. κθ΄.)

Εἰς τὰ μέσα τοῦ παρελθόντος αἰῶνος ἀνεφάνη κατὰ τὰ μέ-
ρη τῆς δούλης Ἑλλάδος ὁ νέος οὗτος φωστὴρ τῆς Ἐκκλη-
σίας, ὅςτις περιῆλθε γῆν τε καὶ θάλασσαν κληθείς ὑπὸ τοῦ Κυ-
ρίου πρὸς τὸ κήρυγμα τοῦ Ἁγίου αὐτοῖ Εὐαγγελίϐ. Ὁ δὲ
ταπεινὸς ἐγὼ αὐτόπτης, οἰκονομίᾳ Θεοῦ, γεγονὼς τοῦ Σεπτοῦ
αὐτοῦ λειψάνου καί τῶν θαυμάτων Αὐτοῖ συνέθεσα συλλέ
ξας τήν παροῦσαν ἀκολουθίαν, ἥν προσφέρω τῷ ὀρθοδόξῳ
καὶ χριστεπωνύμῳ πληρώματι, ὡς τέκμαρ εὐγνωμοσύνης πρὸς
τὸν Ἅγιον Ἰσαπόστολον καὶ Ἱερομάρτυρα Κοσμᾶν, τὸν ἀπερί-
τρεπτον ἐν Ἀλβανίᾳ στύλον κατὰ τῆς θρησκείας τῶν Ἀγαρη-
νῶν, οἷος ὁ Ἅγιος θαυματουργὸς Σπυρίδων ἐν Κερκύρᾳ ἀκρά-
δαντον στήριγμα κατὰ τῶν σχισματικῶν Παπιστῶν. Δέχθη-
τε οὖν, ὦ φιλέορτοι, ταύτην εὐμενῶς, ἀπεκδεχόμενοι παρὰ
Θεοῦ τὸ μέγα καὶ πλούσιον ἔλεος.

Τῆς Ὑμετέρας Φιλοχρίστου Ἀδελφότητος

δοῦλος ταπεινὸς

**1860 Μάϊος.** ἐν Βουκουρεστίοις

Θωμᾶς Α, Πασχίδης.

ΑΛΛΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤ

# ΑΚΟΛΟΥΘΙΑ

## ΚΑΙ ΒΙΟΣ ΤΟΥ ΑΓΙΟΥ ΙΕΡΟΜΑΡΥΡΟΣ

# ΚΑΙ ΙΣΑΠΟΣΤΟΛΟΥ

## ΚΟΣΜΑ

**Ψαλλομένη κατὰ τὴν 24 εἰκοστὴν τετάρτην Αὐγούστου.**

*Εἰς τὸν Ἑσπερινὸν, Στιχοχογεῖται ἡ ά. στάσιςτϐ Μακάριος Ἀνὴρ Εἰς δὲ τὸ Κύριε ἐκέκραξα ψάλλομεν, Στιχηρὰ προσόμοια ἐκ τοῦ μηναίου γ! καὶ γ΄. τϐ Ἁγίου. Ἦχος β΄. Σαπφείρου. κατὰ τὸ: Ποίοις εὐφημιῶν*

Δεῦτε τὸ λογικὸν σύστημα συστησώμεθα κοινὴν χορείαν ἐν ἀγαλλιάσει γεραίροντες πάσης εὐκοσμίας τὸν πρόξενον τῷ Μερόπων γένει Κοσμᾶν τὸν Θεῖον, τὸν μέγαν Καθηγεμόνα καὶ Διδάσκαλον, τὸν πράξει καὶ θεωρίᾳ διαλάμψαντα καὶ πρὸς γνῶσιν θείαν ἀνθρώπων πλήθη διδαχαῖς πανσόφοις καὶ λόγοις θείοις διδάξαντα, ὑπογραμμὸν τὸν τῶν Ἀσκητῶν καὶ τοῖς Ἀποστόλοις συγκάθεδρον.

Δεῦτε τῶν Ὀρθοδόξων τὸ σύστημα εὐφημήσωμεν τὸν θεῖον μύστην, τὸ τῆς εὐσεβείας ὑπόδειγμα, τοῖς τε Ἀναργύροις ἐφάμιλλον καὶ τὰ ἴσα φέροντα τοῖς Ἀποστόλοις, ὡς πάντας γνώσει θείᾳ πλουτίσαντα, ἀναργύρους τὰς διδασκαλίας προχέοντα πᾶσιν, ὡς ἱερεὺς ἐννομώτατος, ὃν ὁ Χριστὸς ἐστεφάνωσεν ὁ ἔχων τὸ μέγα ἔλεος.

Δεῦτε Χριστιανῶν ἅπαν πλήρωμα ἐγκωμίων ἄνθεσιν ἐπιλέκτοις, τοῦ Χριστοῦ θεράποντος στέψωμεν κάραν τὴν

ἁγίαν χρεωστικῶς, τὴν τοῖς μετὰ πόθου προσιοῦσι, τὴν χάριν δαψιλεστάτην καταχέουσαν, καὶ νόσους πολυτρόπως ἀπελαύνουσαν, ὡς παρὰ Θεοῦ κομισαμένην, ἀντάξιον τῶν πόνων, τῶν θαυμάτων τὴν ἐνέργειαν, ἣν ὁ Χριστὸς ἐδωρήσατο·

Δόξα ἦχος πλ. β'.

Τῶν ὄντων ἐκμελετήσας τὸ ἄστατον, καὶ τὸν Σταυρὸν τοῦ Κυρίου εὐαγγελικῶς ἐπ' ὤμων ἀράμενος, ἀποστολικῶς τὸν λόγον τῆς εὐσεβείας πᾶσι διέσπειρας, ἀναργύρως τὴν χάριν τῶν ἰαμάτων δαψιλευόμενος· ὅθεν κατὰ Παῦλον τοῖς πᾶσιν ἐβόας· ἀγαπήσατε τὸν Θεὸν καὶ εὑρήσετε ἀνάπαυσιν ταῖς ψυχαῖς ὑμῶν μετὰ πάντων τῶν Ἁγίων· ἀλλὰ καὶ νῦν αἰτοῦμέν σε, Μαρτύρων ἐγκαλλώπισμα, ὡς παῤῥησίαν ἔχων πολλὴν πρὸς τὸν Σωτῆρα Χριστὸν, μὴ διαλίπῃς πρεσβεύων ὑπὲρ τῶν πίστει καὶ πόθῳ, σοῦ τῇ Σορῷ προσιόντων τῇ Ἁγίᾳ, καὶ φαιδρῶς ἐκτελούντων τὴν σεβάσμιον μνήμην σου·

Καὶ Νῦν. Τίς μὴ μακαρίσει Σε

---

Εἴσοδος. Προκείμενον τῆς ἡμέρας, καὶ τὰ Ἀναγνώσματα.

Προφητείας Ἡσαΐου τὸ Ἀνάγνωσμα.

Τάδε λέγει Κύριος. πάντα τὰ ἔθνη, καὶ συναχθήσονται Ἄρχοντες ἐξ αὐτῶν. Τίς ἀναγγελεῖ ταῦτα ἐν αὐτοῖς, ἢ τὰ ἐξ ἀρχῆς, τίς ἀκουστὰ ποιήσει ὑμῖν; Ἀγαγέτωσαν τοὺς Μάρτυρας αὐτῶν, καὶ δικαιωθήτωσαν, καὶ εἰπάτωσαν ἀληθῆ. Γίνεθέ μοι Μάρτυρες, καὶ ἐγὼ Μάρτυς Κύριος ὁ Θεὸς, καὶ ὁ παῖς ὃν ἐξελεξάμην, ἵνα γνῶτε καὶ πιστεύσητέ Μοι καὶ συνῆτε ὅτι Ἐγώ εἰμι. Ἔμπροσθέν μου οὐκ ἐγένετο ἄλλος Θεὸς καὶ μετ' ἐμὲ οὐκ ἔσται. Ἐγώ εἰμι ὁ Θεὸς καὶ οὐκ ἔστι πάρεξ ἐμοῦ ὁ σώζων. Ἐγὼ ἀνήγγειλα καὶ ἔσωσα ὠνείδισα καὶ οὐκ ἦν ἐν ὑμῖν ἀλλότριος. Ὑμεῖς ἐμοὶ Μάρτυρες, καὶ οὐκ ἔστιν ὁ ἐκ τῶν χειρῶν μου ἐξαιρούμενος.



Ποιήσω, καὶ τίς ἀποστρέψει αὐτό; οὕτω λέγει Κύριος ὁ Θεὸς ὁ λυτρούμενος ἡμᾶς, ὁ Ἅγιος Ἰσραήλ.

Προφητείας Σολομῶντος τὸ Ἀνάγνωσμα.

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν καὶ ἡ ἀφ' ἡμῶν πορεία σύντριμμα. οἱ δὲ εἰσιν ἐν εἰρήνῃ. Καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης. καὶ ὀλίγα παιδευθέντες μεγάλα εὐεργετηθήσονται, ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτοὺς, καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ, ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτοὺς, καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς. Καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσιν, καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται. Κρινοῦσιν ἔθνη, καὶ κρατήσουσι λαῶν, καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας. Οἱ πεποιθότες ἐπ' αὐτῷ συνήσουσιν ἀλήθειαν, καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ· ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς Ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς Αὐτοῦ.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.

Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι. καὶ ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν, καὶ ἡ φροντὶς αὐτῶν παρὰ Ὑψίστῳ. Διὰ τοῦτο λήψεται τὸ βασίλειον τῆς εὐπρεπείας καὶ τὸ διάδημα τοῦ κάλλους ἐκ χειρὸς Κυρίου. ὅτι τῇ δεξιᾷ αὐτοῦ σκεπάσει αὐτοὺς καὶ τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν. Λήψεται πανοπλίαν τὸν ζῆλον αὐτοῦ, καὶ ὁπλοποιήσει τὴν Κτίσιν εἰς ἄμυναν ἐχθρῶν. Ἐνδύσεται θώρακα δικαιοσύνην καὶ περιθήσεται κόρυθα, κρίσιν ἀνυπόκριτον. Λήψεται ἀσπίδα, ἀκαταμάχητον ὁσιότητα· ὀξυνεῖ δὲ ἀπότομον ὀργὴν εἰς ῥομφαίαν. Συνεκπολεμήσει αὐτῷ ὁ Κόσμος ἐπὶ τοὺς παράφρονας. Πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν, καὶ ὡς ἀπὸ εὐκύκλου τόξου τῶν νεφῶν ἐπὶ σκοπὸν ἁλοῦνται, καὶ ἐκ πε-

ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

τροβόλου θυμοῦ πλήρεις ῥιφήσονται χάλαζαι. Ἀγανακτήσει κατ' αὐτῶν ὕδωρ θαλάσσης, ποταμοὶ δὲ συγκλείσουσιν ἀποτόμως. Ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως, καὶ ὡς λαίλαψ ἐκλικμήσει αὐτοὺς, καὶ ἐρημώσει πᾶσαν τὴν γῆν αὐτῶν ἀνομία, καὶ ἡ κακοπραγία περιτρέψει θρόνους δυναστῶν. Ἀκούσατε οὖν βασιλεῖς καὶ σύνετε. Μάθετε δικασταὶ περάτων γῆς. Ἐνωτίσασθε οἱ κρατοῦντες πλήθους καὶ γεγαυρωμένοι ἐπὶ ὄχλοις ἐθνῶν. Ὅτι ἐδόθη παρὰ Κυρίου ἡ κράτησις ὑμῶν, καὶ ἡ δυναστεία παρὰ Ὑψίστου.

*Εἰς τὴν Λιτὴν, τοῦ Ἁγίου. ἦχος. πλ. α'.*

Τὸν τοῖς Ἀποστόλοις ἰσότιμον καὶ Διδασκάλων ὁμότροπον Κοσμᾶν τὸν Ἰσαπόστολον ἐν ὕμνοις εὐφημήσωμεν. οὗτος γὰρ τὴν τῆς Ἄγαρ διαλύσας σκοτόμαιναν, καὶ βάρβαρα ἔθνη πρὸς ὀρθοδοξίαν ὁδηγήσας ἐπιλάμψει τοῦ Πνεύματος ἀνέδραμεν ὡς διψῶσα ἔλαφος πρὸς ἀκρότομον πέτραν, ἐξ ἧς κρουνοὶ βρύουσιν ἀειζώου νάματος. σωτηρίαν πᾶσι βραβεύων διὰ τῆς ἀεννάου πρὸς Σωτῆρα Κύριον πρεσβείας αὐτοῦ.

*Δόξα. ἦχος. ὁ αὐτός.*

Τῷ τῆς Τριάδος φωτὶ ἐλλαμπόμενος ἀνέπτυξας τὴν τῶν θείων γραφῶν ἑρμηνείαν, καὶ τὰς περὶ πάντων γνώσεις. τρανῶς διακηρύξας παρέστησας σεαυτὸν ὡς Ἱερεῖον τῷ Θεῷ ἄμωμον, ἔθνη συγκαλῶν πρὸς ὕψος οὐράνιον. Ἡ Σὴ δὲ τῶν λειψάνων μυροθήκη πᾶσι τοῖς πιστοῖς παρέχουσα δαψιλῶς τὴν ἴασιν τῶν τῆς ψυχῆς καὶ τοῦ σώματος νόσων, ἀλεξιτήριος κατὰ δαιμόνων ἡμῖν ἀναδέδεικται. Ἣ προσπίπτοντες δεόμεθά σου ἐκτενῶς. Πρέσβευε τῷ Κυρίῳ ὑπὲρ τῶν ψυχῶν ἡμῶν. Καὶ νῦν. Θεοτοκίον.

Μακαρίζομέν Σε, Θεοτόκε Παρθένε, καὶ δοξάζομέν Σε οἱ πιστοὶ κατὰ χρέος. τὴν πόλιν τὴν ἄσειστον, τὸ τεῖχος τὸ ἄρρηκτον, τὴν ἀρραγῆ προστασίαν καὶ καταφυγὴν τῶν ψυχῶν ἡμῶν.



*Εἰς τὸν Στίχον. ἦχος δ'. Ὡς γενναῖον.*

Ἀριστεὺς ὡς ἀήττητος, τοῦ ἐχθροῦ πᾶσαν ἔννοιαν εὐθαρσῶς διήλεγξας καὶ κατῄσχυνας, ὡς ἐκ Θεοῦ κομισάμενος, πλουσίαν τὴν δύναμιν, κατὰ πάντων δυσμενῶν καὶ τρόπαια τῆς νίκης κατὰ πάντα ἀναστήσας τόπον, Πάτερ, στεφηφορῶν ἐξεδήμησας.

*Στίχ. Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις*

Τοῖς ἐνθέοις διδάγμασι τὴν ὑφήλιον ἅπασαν εὐσεβῶς κατήρδευσας, ἱερώτατε, σπείρας τὸν λόγον τῆς πίστεως, Κοσμᾶ ἀξιάγαστε, ταῖς τῶν πάντων ἀκοαῖς, καὶ κομῶντας ὡς στάχυας ἐναπέδειξας ἀρεταῖς ταῖς ἐνθέοις, τοῖς σοῖς λόγοις, καὶ προσήγαγες ὡς θῦμα τῷ σῷ Δεσπότῃ εὐπρόσδεκτον.

*Στιχ. Τοῖς Ἁγίοις τοῖς ἐν τῇ Γῇ.*

Ἀρετὴν πᾶσαν ἤσκησας, Ἀσκητῶν ἐγκαλλώπισμα, καὶ Μαρτύρων καύχημα, ἐναρέτου τε ζωῆς τῆς ὄντως ὑπόδειγμα, Κοσμᾶ ἱερώτατε, τῆς Τριάδος γεγονὼς, καθαρὸν ἐνδιαίτημα. Ἣ καὶ πρέσβευε ἱλασμὸν τῶν πταισμάτων δωρηθῆναι, τοῖς ἐν πίστει σε τιμῶσι καὶ ἐκτελοῦσι τὴν μνήμην σου.

*Δόξα ἦχος πλ. δ'.*

Τῶν εὐσεβῶν τὰ πλήθη, τὸν Καθηγητήν σε τιμῶμεν, Κοσμᾶ ἰσαπόστολε· διὰ γάρ σου τὴν τρίβον τὴν ὄντως εὐθεῖαν πορεύεσθαι ἔγνωμεν. Μακάριος εἶ τῷ Χριστῷ δουλεύσας καὶ τῶν πιστῶν τὸν σύλλογον ταῖς ἱεραῖς σου διδαχαῖς τῷ Θεῷ προσενέγκας, καὶ ἐχθροῦ θριαμβεύσας τὴν δύναμιν. Ἀγγέλων συνόμιλε, Ἀποστόλων ὁμότροπε, Μαρτύρων ὁμόσκηνε καὶ δικαίων· μεθ' ὧν πρέσβευε διηνεκῶς τῷ Κυρίῳ ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

*Καὶ Νῦν. Θεοτοκίον. Ἀνύμφευτε παρθένε.*

*Ἀπολυτίκιον. ἦχος δ'.*

Ὠδαῖς εὐφημήσωμεν τὸν εὐκλεῶς τοῖς χοροῖς Μαρτύρων ἐμπρέψαντα, Ὁσίων καὶ Ἀσκητῶν, Κοσμᾶν τὸν Ἀοίδιμον. Ἴσος γὰρ Ἀποστόλοις, ἀνεφάνη, καθάπερ Κῆρυξ εὐαγγελίου ἀναδέδεικται ὄντως, καὶ Χριστομίμητος αὐτοῖς ἀδελφός, καὶ Διδασκάλων ὁμότροπος.

*Θεοτοκίον. Τὸ ἀπ' αἰῶνος ἀπόκρυφον.*

*Εἰς τὸν Ὄρθρον. Θεὸς Κύριος. Τροπάριον. καὶ ἐφεξῆς.*

*Μετὰ δὲ τὴν ά. Στιχολογίαν. Κάθισμα ἦχος ά. Τὸν τάφον Σου Σωτὴρ.*

Τὴν πίστιν τοῦ Χριστοῦ ἀῤῥαγὲς ὥσπερ ὅπλον προβάλλων, νικητὴς κατ' ἐχθρῶν ἀνεδείχθης, ἀκονῶν ὥσπερ φάσγανον τὸν σὸν λόγον ἀκρότομον, ᾧ κατέτεμες τὰς τοῦ Βελίαρ ἐνέδρας καὶ κατέκοψας τῆς ἀσεβείας τὰς ῥίζας, μαχαίρᾳ τοῦ πνεύματος.

*Δόξα καὶ Νῦν. Μητέρα Σε Θεοῦ.*

*Μετὰ τὴν β'. στιχολογίαν. ἦχος πλ. ά. Τὸν Συνάναρχον.*

Εὐσεβείας τὸν σπόρον ἐνσπείρας Ὅσιε, ἀκοαῖς τῶν ἀνθρώπων ἀδρῶς ἐθέρισας διδαγμάτων εὐσεβῶν σου τὰ δράγματα καὶ προσήγαγες Χριστῷ εὐάρεστον ὡς ἀπαρχὴν, ἀνθρώπων ἄπειρα πλήθη, Ὀρθοδοξίας κομῶντα δόγματα, οἷά περ στάχυας.

*Δόξα καὶ Νῦν. Χαῖρε πύλη Κυρίου.*

*Μετὰ τὸν Πολυέλεον. ἦχος β'. Ἐπεφάνης.*

Τοὺς λαμπροὺς ἀγῶνάς σου, Ἱερομάρτυς, συνελθόντες σήμερον ἐν τῷ πανσέπτῳ ναῷ σου, ᾄσμασιν ἀνευφημοῦμεν, ὦ θεηγόρε, πόθῳ τε προσπίπτοντές σου Σορῷ τῇ θείᾳ, κομιζόμεθα πλουσίως, λύσιν παντοίων νόσων καὶ θλίψεων.



*Δόξα, τὸ αὐτό. Καὶ νῦν*

Ἡ τοῦ Κόσμου Δέσποινα τὴν σωτηρίαν τεκοῦσα, θυμηδίαν δώρησαι τοῖς ὑμνηταῖς Σου, Παρθένε, ἅπαντα γὰρ δυνατά σοι πρὸς τὸν υἱόν Σου, ὅντινα ἐκδυσωποῦσα μὴ διαλίπῃς ὑπὲρ πάντων τῶν Σῶν δούλων, ἵνα ῥυσθῶμεν πυρὸς τῆς Κολάσεως.

*Οἱ ἀναβαθμοί. Τὸ ά. Ἀντίφ. τοῦ δ'. ἦχ. Προκ. Θαυμαστὸς ὁ Θεός.*

*Πᾶσα πνοή. Εὐαγγέλιον. Ζήτει εἰς τὸν ὄρθρον τῇ κς'. Ὀκτωβρίου. Δόξα. Ταῖς τοῦ Διδασκάλου. Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου. Ἐλεήμων, ἐλέησόν με ὁ Θεός. καὶ τὸ ἰδιόμελον ἦχος β'.*

Τὸν νοῦν ἀναπτερώσας πρὸς τὰ ὑπερκόσμια, καὶ παιδιόθεν ἀσκήσει καὶ μελέτῃ συζήσας τῇ κατὰ Θεὸν, ἐκ τοῦ Ἄθωνος ὥρμησας, καθάπερ ἄλλος Νεῖλος, καὶ τὰς διψώσας ψυχὰς πλουσίως ἤρδευσας τῇ ἐπομβρίᾳ τῶν λόγων σου· ἃς καὶ καρποφόρους τῆς θείας ἐπιγνώσεως ἐναποδείξας, τῆς γλυκείας φωνῆς ἀκήκοας· εἴσελθε δοῦλε, εἰς τὴν χαρὰν τοῦ Κυρίου σου.

---

## ΚΑΝΩΝ ΤΗΣ ΘΕΟΤΟΚΟΥ καὶ ΤΟΥ ΑΓΙΟΥ.

### κατ' ἀλφάβητον

*Ὠδὴ Α'. ἦχος πλ. δ'. Ὑγρὰν διοδεύσας.*

Ἀφεὶς τὸν κόσμον καὶ τὰ τερπνὰ πρὸς Χριστὸν κατέφυγες, τὴν εἰρήνην ἐπιζητῶν, πᾶσί τε κηρύττων εὐσεβοφρόνως τὴν μετάνοιαν.

Βιῶν ἀσώτως τε καὶ οἰκτρῶς, πρὸς σὲ καταφεύγω θεραπείαν ἀναζητῶν, καὶ ἐξαιτῶν θερμότατα διὰ σοῦ Θεοῦ τὸ ἔλεος.

Γινώσκων τὸ πέλαγος τῶν ἐμῶν ψυχικῶν τραυμάτων καὶ τὸ βάθος σῶν οἰκτιρμῶν, εὐθαρσῶς προσέδραμον Σοὶ τῷ μόνῳ Θεῷ καὶ Δεσπότῃ μου.



ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

Θεοτοκίον.

Δέδοικα ὁ τάλας καὶ ἐναγὴς Σοὶ τῇ Παντανάσσῃ δεηθῆναι ἱκετικῶς θαῤῥῶν δὲ τοῖς Σοῖς σπλάγχνοις, κλίνω γόνυ, Κυριώνυμε.

Ὠδὴ Γ΄. Οὐρανίας ἀψῖδος.

Εἴποιμι ἐν βίῳ ἱερομύστα ἔνδοξε, καὶ ἀνακηρύξαιμι τὰ σὰ θαυμάσια ἅπερ εἶδον ἐν τῇ σῇ μονῇ τῇ ἱερᾷ καὶ εὐαγεῖ, Διδασκάλων ὁμότροπε, καὶ τῶν Ἀποστόλων ἰσάδελφε.

Ζέοντι τῷ πόθῳ Χριστῷ ἠκολούθησας, τὸν Σταυρόν τὸν τίμιον ἐπ᾽ ὤμων ἀράμενος, καὶ πήγων ἐπὶ τῆς γῆς, Νεομαρτύρων ὑπέρτερε, τὸν λαὸν Κυρίȣ εἰς εὐσέβειαν ὡδήγησας.

Ἥλιος ὥσπερ φαεινὸς, πανένδοξε, ἐξ Ἑλλάδος ὁρμηθεὶς ἑσπέριος, τὴν Ἄγαρ ἐφυγάδευσας, ταῖς διδαχαῖς ταῖς σαῖς Ἅγιε, τρανῶς τε πᾶσιν ἐκήρυξας, Τριάδα σέβειν ὑπέρτιμον. Θεοτ.

Θεϊκὸν ῥόδον, ἴον τε πανεύοσμον, μάννα γλυκὺ, ἄνθος τὸ ἀμάραντον, παρθενικὸν κειμήλιον Ἄννης, Ἰωακείμ τε ἔνθεον βλάστημα πέλεις, Παναγία Ὑπεράμωμε.

Κάθισμα. ἦχος ά. Τὸν τάφον Σου Σωτήρ.

Τοῦ κόσμου τὰ τερπνὰ καταλιπὼν, Θεοφόρε, ἐπόθησας Χριστὸν ὁλοψύχως, Παμμάκαρ Κοσμᾶ ἀξιάγαστε, Ἀποστόλων ὁμότροπε. Σὺ γὰρ ἔτρεψας τὰς τῶν δαιμόνων ἐνέδρας, καὶ κατήρδευσας τῶν εὐσεβῶν τὰς καρδίας, δυνάμει τοῦ Πνεύματος.

Δόξα, τὸ αὐτό. Καὶ νῦν

Μαρία τὸ σεπτὸν τοῦ Δεσπότου δοχεῖον, ἀνάστησον ἡμᾶς πεπτωκότας εἰς χάος δεινῆς ἀπογνώσεως καὶ πταισμάτων καὶ θλίψεων· Σὲ γὰρ ἔχομεν ἁμαρτωλοὶ προστασίαν, Σὲ κεκτήμεθα ἐν πειρασμοῖς σωτηρίαν τὴν μόνην Πανάχραντον.



Ὠδὴ Δ΄. Σύ μου ἰσχύς.

Ἰσχὺς καὶ σκέπη, προσφύγιόν τε Ἅγιε, μετὰ Θεὸν καὶ τὴν Θεοτόκον τὴν πάντων Ἄνασσαν σύ μου πέλεις, Κοσμᾶ Ἰσαπόστολε· διὸ ἀναβοῶ σοι· ταῖς σαῖς πρεσβείαις ῥῦσαί με τοῦ δεινοῦ πολεμήτορος.

Κήρυκά σε λόγου καὶ ὑποφήτην ἐπέγνωμεν τῶν τοῦ Θεου ἀῤῥήτων κριμάτων, ἔνδοξε, ἐφ᾽ οἷς ἐπιθαῤῥεύοντες μεσίτην προβαλλόμεθα μετὰ τοῦ Πρωταγγέλου Προδρόμου Ἰωάννου πρὸς Σωτῆρα Χριστὸν τὸν Πανάγαθον.

Λαμπρυνθεὶς τῇ αἴγλῃ καὶ ταῖς ἀρδείαις τοῦ Πνεύματος πᾶσαν γῆν Ἑλλάδος ἐφώτισας, τὸν σταυρὸν φέρων ἐπὶ σῶν ὤμων, Θεοδίδακτε. Διὸ δεόμεθά σου, ταύτην τὴν πόλιν φύλαττε, πάσης ἀνάγκης κινδύνων τε. Θεοτοκίον.

Μήτηρ Ἰησοῦ Χριστοῦ, τοῦ πάντων Θεοῦ ὑπάρχουσα, Κυρία Παρθενομῆτορ Πανάχραντε, τεῖχος ἡμῶν πάντων καὶ ἀσφαλὲς προπύργιον, ἐπάρδευσον καρδίας σῶν ἱκετῶν σταλάζουσα μύρον ἐν αὐταῖς τὸ πολύτιμον.

Ὠδὴ Ε΄. Φώτισον ἡμᾶς.

Νίκην δίδου μοι, Χριστὲ, κατ᾽ ἐχθρῶν τῶν πολεμούντων με, ἀποσοβῶν αὐτοὺς, πανάγαθε, τῇ πρεσβείᾳ τοῦ σεπτοῦ Ἰσαποστόλου Σου.

Ξενωθείημεν παθῶν, Παμβασιλεῦ Αἰώνιε, τῇ πρεσβείᾳ τȣ͂ σοφοῦ Σου θεράποντος, ἔρωτι τῷ Σῷ γλυκυτάτῳ τρωθέντες Φιλάνθρωπε.

Ὅλως τὴν ψυχὴν καὶ τὴν ἐμὴν διάνοιαν βεβορβόρωμαι ὁ τάλας, Θεέ μου· καὶ δέομαι διὰ παντὸς δακρυῤῥοῶν ὁ πανάθλιος, ὅπως τῶν δεινῶν λυτρωθήσομαι. Θεοτοκίον.

Πύρσευσον, Ἁγνὴ, ἐλεεινὴν καρδίαν μου δεινῶς τηκομένην, Πάναγνε· καὶ δώρησαί μοι, Ἀγαθὴ, τῶν ἐμῶν πταισμάτων τὴν συγχώρησιν.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

Ὠδὴ ΣΤ΄. Τὴν δέησιν ἐκχεῶ.

Ῥῦσόν με τῶν ψυχικῶν τραυμάτων μου ἐκτενῶς καθικετεύω, Οἰκτίρμον, καὶ πειρασμῶν καὶ δεινῶν καὶ κινδύνων κατασχεθέντα οἰκτρῶς, καὶ δώρησαί μοι, Ἀγαθὲ, τοῦ νοός μου τὴν θεράπευσιν.

Σῶσον, Δυνατὲ, ἱκεσίαις τοῦ Παμμάκαρος, τὴν ἀθλίαν μου ψυχὴν τῆς γεέννης, καὶ τοῦ δεινοῦ σκοτοφόρου Βελίαρ αὐτὴν ἐξάρπασον, καὶ στάλαξόν μοι βασιλεῦ, δάκρυα καὶ μῦρα κατανύξεως.

Τριάδα παντουργὸν ἀμέριστον θεότητα, λατρεύω ἐν Τρισὶ τοῖς Προσώποις, ἀδιαίρετον Μονάδα Τρισυπόστατον· Πατέρα τὸν Γεννήτορα, υἱὸν τὸν Γεννηθέντα, ὑμνῶ τε συνεκλάμπον Πνεῦμα τὸ Σύνθρονον. Θεοτοκίον.

Ὕδωρ τὸ ζωὴν παρέχον Παντευλόγητε, στάξον μοι Παρθένε Θεοτόκε, καὶ τὴν πηγὴν τὴν ἐκβλύζουσαν ὄντως σωτηριῶδες δάκρυον, ὅπως μου ἐκπλύνω τὰ βορβορώδη πταίσματα, καὶ πυρὸς γεέννης ῥυσθήσομαι.

Κοντάκιον. ἦχος δ΄. Ὁ Ὑψωθείς.

Τῆς Αἰτωλίας προελθὼν, θεοφόρε, καὶ ἐν τῷ Ἄθει μοναστὴς χρηματίσας, καὶ μυηθεὶς ὡς ἀληθῶς τὴν δόξαν τοῦ Θεοῦ, πᾶσιν ἀνεκήρυξας εὐσεβείας τὸν λόγον, καὶ Χριστῷ προσήγαγες, Παμμακάριστε, πάντας, τῶν Ἀποστόλων ὄντως μιμητὴς, Ἱερομάρτυς τῇ ἐκχύσει τοῦ αἵματος. ὁ οἶκος.

Τὸν κήρυκα τῆς πίστεως καὶ ὑπηρέτην τοῦ Λόγου Κοσμᾶν τὸν τρισόλβιον, δεῦτε πάντες ὁμοφώνως αἰνέσωμεν. Οὗτος γὰρ λαὸν ἐν ἀσεβείᾳ φόβῳ κυλινδούμενον τῇ σαγήνῃ τοῦ Πνεύματος ἀγρεύσας τῷ Χριστῷ προσήγαγε περιούσιον· τῶν Ἀποστόλων ὄντως μιμητὴς ἱερομάρτυς τῇ ἐκχύσει τοῦ αἵματος.



Τῷ αὐτῷ μηνὶ κδ΄.

**Μνήμη τοῦ Ἁγίου Ἱερομάρτυρος καὶ Ἰσαποστόλου Κοσμᾶ.**

Εὔκοσμος ὤφθης κόσμος, ὦ Κοσμᾶ μάκαρ,
Κόσμου λόγοις σοῖς αἵμασί τ' ἀγλαΐσας.
Θάνεν διὰ βρόχου Κοσμᾶς εἰκάδι τετάρτῃ.

Οὗτος ὁ Νέος Ἀπόστολος καὶ Ἱερομάρτυς Κοσμᾶς, ἡ στολὴ τῆς Ὀρθοδόξου ἐκκλησίας (κατὰ τὴν ἤδη ἐποχὴν ἐν ᾗ ἡ πίστις τῶν πολλῶν ἐκλείπει, φεῦ!) ἐγεννήθη ἐν τῇ Δυτικῇ Ἑλλάδι τῷ 1714 ἔτει μ. Χ. ἐξ εὐσεβῶν γονέων, ὑφ' ὧν παιδευθεὶς τὰ ἱερὰ γράμματα ἐν τῇ πατρίδι, παῖς ἔτι ὢν, μετέβη καὶ εἰς τὴν τότε ἑστίαν τῶν φώτων τὸν Ἄθωνα (Ἅγιον Ὄρος), ὅπως ἀκροάσηται καὶ ἑτέρων ὑψηλοτέρων μαθημάτων παρὰ τῶν περιφήμων ἐν ἐκείνῃ τῇ ἐποχῇ διδασκάλων, σχήματι μάλιστα περιβληθεὶς τῷ Ἀγγελικῷ. Ζήλῳ δὲ πυρποληθεὶς πρὸς τὸ κήρυγμα καὶ παρὰ Θεοῦ κληθεὶς ἐπὶ τούτῳ, ἀπέρχεται εἰς Κωνσταντινούπολιν, λαμβάνει τὴν τούτου ἄδειαν παρὰ τοῦ Πατριάρχου Σεραφεὶμ, καὶ κῆρυξ διαπρύσιος τοῦ Λόγου γίγνεται εἰς τὰ πέριξ τοῦ Βυζαντίου, καὶ εἰς Δουκάνησσα, Μακεδονίαν, Θεσσαλίαν, Ἤπειρον καὶ Ἑπτάνησον, πολλὰ θαύματα ἐν αὐταῖς ἐνεργῶν πρὸς πλείονα τοῖς ἀκούουσι πίστωσιν. — Εἶτα δὲ διέβη ἀπέναντι τῆς Κερκύρας εἰς Ἀλβανίαν, ἐν ᾗ πολλὰς ψυχὰς οὔσας ἐν ἀπιστίᾳ καὶ ἀρνησιθρησκείᾳ (φόβῳ τῶν Ἀγαρηνῶν) ἐπέστρεψε πρὸς τὴν ἀληθινὴν πίστιν, οὐ μόνον διδάσκων τὸ Εὐαγγέλιον, ἀλλὰ καὶ Ἐκκλησίας πολλὰς καὶ σχολεῖα ἱδρύων εἰς δόξαν Θεοῦ ὁ Τρισόλβιος. Ὅθι δὲ ἐκήρυττεν ὁ μακάριος, σταυρὸν ἔσταινε πανταχοῦ, ὡς ἅρμα θεῖον κατὰ τῶν τοῦ Βελίαρ προσβολῶν. Μὴ ὑποφέρων οὖν ὁ μισόκαλος τὰ τοιαῦτα, εὗρεν ὄργανα ἑαυτοῦ πρόθυμα ἐπὶ διαβολῇ καὶ συκοφαντίᾳ τοὺς μισοχρίστους Ἰου-

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

δαίους(α), οἵτινες κατηγόρησαν τὸν Ἅγιον εἰς τὸν διοικητὴν τοῦ Βερατίου(β) Κοὺρτ Πασσᾶν ὡς ἱεραπόστολον τῆς Ῥωσσίας, ψεῦδος ἀναίσχυντον πράγματι καὶ λόγῳ. ὁ δὲ φθόνος αὐτῶν προῆλθεν ἕνεκα τῆς εἰς πολλὰς πόλεις τῆς Ῥούμελης μεταβολῆς τῆς ἀγορᾶς ἐκ Κυριακῆς εἰς Σάββατον διὰ παρακινήσεως τοῦ Ἁγίου, ὅπερ καταθλίψαν τοὺς Ἰουδαίους ἠνάγκασεν αὐτοὺς δωροδοκῆσαι τὸν ῥηθέντα διοικητὴν, ὅστις ἐξέδωκε τὸ βάρβαρον διάταγμα τῆς θανατώσεως τοῦ Ἁγίου. Καὶ οὕτως εἰς ἓν δένδρον πλησίον τοῦ ποταμοῦ Βοιώσα, μίαν λεύγην ἐκτὸς τοῦ Βερατίου ἀπηγχονίσθη ὑπὸ τῶν Ἀγαρηνῶν ὁ μακάριος καὶ εὐλογημένος τῶν ἐπιθυμιῶν ἀνὴρ, τῷ 1779 ἔτει μ. Χ. ἡ δὲ ἁγία αὐτοῦ ψυχὴ πασιχαρῶς ἀπέπτη εἰς οὐρανίους μονὰς, ἔνθα συναγάλλεται τῷ βασιλεῖ τῶν αἰώνων, διηνεκῶς πρεσβεύων ὑπὲρ τῶν πιστῶς ἐκτελούντων τὴν μνήμην αὐτοῦ. Τὸ πάντιμον λείψανον αὐτοῦ ἐῤῥίφθη ἐντὸς τοῦ ποταμοῦ, ὅθι ἐξήχθη μετὰ τρεῖς ἡμέρας σῶον καὶ εὐῶδες ὑπὸ τῶν μαθητῶν αὐτοῦ, οἵτινες ἐνταφίασαν αὐτὸ εἰς τὸ πλησίον μοναστήριον τοῦ Κολικόντασῃ, ἐν ᾧ ἱδρύθη καὶ θεῖος αὐτοῦ Ναὸς δαπάνῃ τοῦ τοπάρχου τῶν Ἰωαννίνων Ἀλῆ πασσᾶ, ὅστις καὶ ἠργύρωσε τὴν πάντιμον τοῦ Ἁγίου κάραν, καθότι τῷ εἶχε προφητεύσειν ὁ Ἅγιος τὴν ἀπὸ λῃστοῦ ἀνύψωσίν του εἰς το-

(α) Τὸ αὐτὸ γέγονε καὶ ἐπὶ τῆς ἀγχόνης τοῦ ἐν Ἁγίοις Πατρὸς ἡμῶν Σεραφεὶμ, τοῦ μαρτυρήσαντος ἐν Φαναρίῳ κώμῃ τῆς Θεσσαλλίας. κατὰ τὸν ιστ'. αἰῶνα. ἡ κυπάρισσος ἐν ᾗ ἀπηγχονίσθη ὁ ῥηθεὶς ἀρχιεπίσκοπος Φαναρίου καὶ Φεῤῥῶν ἐσώζετο ἡμίξηρος μέχρι τῶν 1853, ὅτε ἄνεμος σφοδρὸς πρόῤῥιζον αὐτὴν ἐν ὥρᾳ χειμερινῇ ἀνέσπασεν.

(β) Βεράτιον, ἀρχαία πόλις καλουμένη Βελλάγραδα, περίφημος διὰ τὰς ἐν αὐτῇ ἀρχαιότητας καὶ διὰ τὸν ἐρίτιμον ἐν τῇ ἐκκλησίᾳ τοῦ Μαγκαλεμίου θησαυρὸν τοῦ Ἁγίου Νεομάρτυρος Νικοδήμου· ἔχει δὲ κατοίκους ὑπὲρ τὰς 15,000 Χριστιανῶν καὶ Τουρκαλβανῶν, καὶ ἀκρόπολιν συνῳκισμένην ὑπὸ μόνων τῶν Χριστιανῶν καὶ ὀλίγης φρουρᾶς. Ἡ φιλοξενία των δὲ εἶναι Ἀβραμιαία. Εὑρίσκεται ἐν τῇ ἱερᾷ Μητροπόλει αὐτῆς τῆς πόλεως Εὐαγγέλιον ἐν Μεμβράνῃ γεγραμμένον ὑπὸ Πρόκλου τοῦ Ἁγίου, μαθητοῦ Ἰωάννου τοῦ Χρυσοῤῥήμονος.



πάρχην καὶ Σατράπην τῆς Ῥούμελης ὅπερ καὶ ἐγένετο. Καθ' ἑκάστην δὲ τελοῦνται θαύματα εἴς τε Χριστιανοὺς καὶ Ἀγαρηνοὺς, ἅτινα ὡς αὐταπόδεικτα καὶ ὑπὸ πάντων ὁμολογούμενα παρατρέχομεν, παραπέμποντες τὸν φιλόχριστον Ἀναγνώστην εἰς τὰς ἰδιαιτέρας αὐτοῦ ἀκολουθίας τυπωθείσας ἐν Βενετίᾳ, Κερκύρᾳ καὶ ἀλλαχοῦ. Αἱ προῤῥήσεις τοῦ Νέου τούτου Ἰσαποστόλου ἐγγίζουσιν ἐν τῷ πληροῦσθαι, εἰ καὶ πρὸ χρόνων ἔδει πληρωθῆναι αὐτάς. Τῶν ἁμαρτιῶν ὅμως ἡμῶν (τῶν δυστυχῶν) τὰ πλήθη ἐκώλυσαν ὡς φαίνεται τὴν διάχυσιν τῆς ἀπείρου εὐσπλαγχνίας τοῦ Κυρίου ἡμῶν καὶ Σωτῆρος Χριστοῦ. Ὧ ἡ δόξα καὶ τὸ κράτος εἴη εἰς τοὺς αἰῶνας. Ἀμήν.

Ὠδὴ Ζ'. *Παῖδες Ἑβραίων.*

Φεῖσαι Χριστὲ γλυκύτατε Ἰησοῦ, δούλων ἐναγῶν κυλιομένων βόθρῳ ἀτόπων λογισμῶν καὶ μολυσμῶν παντοίων, δεήσει τοῦ Παμμάκαρος Σεπτοῦ Ἰσαποστόλου.

Χεῖρας ῥυπαρὰς ἐκτείνω, ὦ Θεέ μου, χείλη βδελυρὰ ἀνοίγω, Κύριέ μου, καὶ στόμα ἐναγὲς, γλῶσσάν τε καὶ καρδίαν, ὅπως ἀνυμνήσω σου τὸν Μάρτυρα τὸν θεῖον.

Ψυχὰς ταπεινὰς, νόας τε καὶ αἰσθήσεις, ὑπέρθεε Θεέ, Τριὰς Ἁγιωτάτη, δέομαι θερμῶς πρεσβείας Σοῦ Ἁγίου, καθάρισον καὶ φώτισον Σῶν δούλων ἀναξίων. Θεοτοκίον.

Ὡς ἴον μυστικὸν, κρίνον τε καὶ ὡς ῥόδον Νικόδημος ὁ σὸς ἡρμήνευσε, Παρθένε, τὸ ἔνδοξον ὄνομα καὶ ὑπερπόθητόν σοι, Μαρία Χαριτώνυμε, Χριστιανῶν προστάτις.

Ὠδὴ Η'. *Ἑπταπλασίως κάμινον.*

Νοὸς καθαρτήριον γενοῦ μοι Ἅγιε, τῇ δεήσει καὶ ἀενάοις πρεσβείαις σου, ταῖς πρὸς Χριστὸν Κύριον Θεόν μου καὶ Παντουργὸν, Δεσπότην μου, ὅπως ἀνυμνήσω καὶ φαιδρῶς ἑορτάσω σοῦ τὴν μνήμην τὴν θείαν καὶ ἔνδοξον.

Λόγον ἀγαθόν μοι χορήγησον ὁ τοῦ Φωτὸς χορηγὸς

καὶ Πανσθενὴς Δεσπότης μου, ἵνα διανοίᾳ, ψυχῇ τε καὶ καρδίᾳ καὶ γλώσσῃ ἑκάστοτε ἀνυμνῶ τὰ μεγαλεῖα κηρύττων Σου τὰ θαυμάσια, ὧν περ ἐμπιπλᾷς τοῖς εὐσεβῶς προσιοῦσι, Φιλάνθρωπε.

Ψυχήν καθαρὰν τὴν πρὶν ῥυπῶσαν ἀπέργασαι, Ὑπερουράνιε Δότερ καὶ Παρακλῆτορ Πανάριστε, Πνεῦμα ζῶν καὶ κτίζον, φῶτα παρέχων τῇ νεύσει σου, ἵνα δοξάζω ἀεὶ, εἰς τοὺς αἰῶνας σὺν Πατρί τε καὶ Υἱῷ Σὲ Θεὸν τὸν Παντοδύναμον. Θεοτοκίον.

Μνήμην παράσχου μοι, Ὑπεράγαθος Δέσποινα, τῶν Παρθένων τὸ τεῖχος τὸ ἄῤῥηκτον, ταῖς πρεσβείαις τοῦ Σεπτοῦ Προδρόμου καὶ τῶν Θεοκηρύκων Σῶν Ἀποστόλων, Πανύμνητε, τοῦ τε Ἰσαποστόλου καὶ πάντων τῶν Ἁγίων, Ἀγγελώνυμε Κόρη Θεοχαρίτωτε.

Ὠδὴ Θ᾽. Ἐξέστη ἐπὶ τούτῳ.

Θεόφρον ἱκετεύω σε ἐκτενῶς, ἵνα σαῖς πρεσβείαις λυτρωθήσομαι τῶν δεινῶν, καὶ πικρῶς δακρύσω μου τὰ φοβερὰ πταίσματα καὶ ἕλκη τὰ τρομερὰ, ὑφ᾽ ὧν ὑπερεπλήσθην, δεινῶς τ᾽ ἐπηρεάσθην, ταῖς προσβολαῖς τοῦ κακοδαίμονος.

Ἰάτρευσον τὰ τραύματα τῆς ἐμῆς ταλαιπώρου καρδίας καὶ πράϋνον τὰ ἐν νοῒ βέλη ἰοβόλα τοῦ πονηροῦ καὶ τῆς ψυχῆς μου, Ἅγιε, θείᾳ ἐπισκέψει σου τὰς δεινὰς ὀδύνας καὶ τὰ ἄλγη θερμῶς καθικετεύων ἐπὶ τούτοις τὸν Παντάνακτα· Δόξα.

Ψυχαὶ μεμακρυσμέναι ἀπὸ Θεοῦ καὶ τῶν θείων χαρίτων στερούμεναι, Δεῦτε θερμῶς καὶ τὴν τοῦ Ἀσώτου ἐπιστροφὴν ἀναλαβοῦσαι κράξωμεν. Πάτερ Ἀγαθὲ ὁ ἐν οὐρανοῖς ἱλάσθητι καὶ σῶσον τὸν ἐναγῆ Σὸν δοῦλον ταῖς πρεσβείαις τοῦ Παμμάκαρος. Καὶ νῦν. Θεοτοκίον.

Τίς γένωμαι: τί πράξω ὁ ταπεινὸς; τίνα ἕξω ἐκεῖσε συνήγορον, ἁμαρτιῶν πλήθη περικείμενος χαλεπὰ, καὶ ῥαθυμίας πέλαγος καὶ ἀναισθησίας ὑπερβολὴν, Ἁγία Θεοτόκε, ἐλπὶς ἀπηλπισμένων, μὴ καταισχύνῃς με τὸν δοῦλόν Σου.



Ἐξαποστειλάριον. Γυναῖκες ἀκουτίσθητε.

Σταυρὸν τὸν τοῦ Κυρίου σου ἐπ᾽ ὤμων ἀνεβάστασας, δι᾽ οὗ ἐτέλεις ἐν κόσμῳ τοῖς προσιοῦσί σοι, Μάκαρ, ἄφθονα τὰ ἰάματα ὡς Ἱερεὺς Πανάριστος τοῦ σοῦ Δεσπότου, Πάνσοφε· διὸ καὶ προσενήνοχας σαὐτὸν δεκτὸν ὥσπερ θῦμα ἄμωμον τῷ Δεσπότῃ. Θεοτοκίον.

Μαρία Ἀγγελώνυμε Σῇ μεσιτείᾳ πάντοτε μὴ διαλίπῃς χρωμένη πρὸς ὃν ἔτεκες, Κόρη, ὑπὲρ σῶν δούλων, Πάναγνε, τῶν ὑμνητῶν τοῦ Σοῦ τόκου. Καὶ γὰρ ἰσχύεις, Δέσποινα, ὅσα καὶ βούλει ποιῆσαι, ὡς Μήτηρ τοῦ βασιλέως.

Εἰς τοὺς Αἴνους. Στιχ. Προσόμοια. ἦχος ά. Τῶν Οὐρανίων Ταγμάτων.

Τοῖς Θεοφθόγγοις σου λόγοις πίστιν ἐτράνωσας τὸ ζοφερὸν τῆς πλάνης διαλύσας, Παμμάκαρ, φωτὶ τῷ τῆς Τριάδος, ᾧ παρεστὼς καὶ παῤῥησίαν εὑράμενος, καθικετεύων μὴ παύσῃ ὑπὲρ ἡμῶν τῶν τελούντων σου τὴν μνήμην ἀεί.

Τὴν τῶν λειψάνων σου θήκην τὴν θαυματόβρυτον κατέχουσα ἐν κόλποις ἡ πιστὴ Ἀλβανία, ὡς ὄντως θεῖον πλοῦτον καὶ θησαυρὸν τῶν θαυμάτων ἀκένωτον αὐχεῖ δικαίως, ἣν σῶζε ταῖς σαῖς λιταῖς παντοίας βλάβης τοῦ ἀλάστορος.

Εὐφραίνου τέρπου ἡ πόλις τῶν Βελλεγράδων πιστῶς κτήσασα τοῖς πέριξ τὸν κοσμήσαντα λόγοις Χριστοῦ τὴν Ἐκκλησίαν θεῖον Κοσμᾶν, τῶν πιστῶν τὸ καλλώπισμα, τῶν ἱερέων τὸ κλέος καὶ Μοναστῶν, καὶ Μαρτύρων τὸ ἐντρύφημα.

Τῆς Θετταλίας, Ἠπείρου καὶ Ἀλβανίας φωστὴρ ἐνθέως χρηματίσας ἀπεσόβησας Ἄγαρ δυνάμει ἀηττήτῳ τῇ τοῦ Σταυροῦ σὺν Γεωργίῳ τῷ Μάρτυρι, μεθ᾽ οὗ πρεσβεύεις ἑκάστοτε τῷ Θεῷ ἐκ κινδύνων λυτρωθῆναι ἡμᾶς.

Δόξα ἦχος δ.

Τοῦ σκεύους τῆς ἐκλογῆς, τῆς κορυφῆς τῶν Ἀποστό-



ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΚΤΗΤΟΡΗΣ ΠΑΠΑΣ

λων, Παύλου τὸν ζηλωτὴν, εὐφημήσωμεν Κοσμᾶν τὸν Ἰσαπόστολον. Οὐ γὰρ ἔδωκεν ὕπνον αὐτοῦ τοῖς ὀφθαλμοῖς, οὐδὲ νυσταγμὸν τοῖς βλεφάροις, ἕωσοῦ τὸν τȣ̃ Εὐαγγελίου λόγον τοῖς πιστοῖς διετράνωσε, καὶ τὰς καρδίας μερόπων ἐκ βυθοῦ τῆς πλάνης πρὸς γνῶσιν θείαν ἀνήγαγε, τῇ τῶν λόγων πλημύρᾳ τὰς διανοίας ἀρδεύων· καὶ τῷ φωτὶ τῆς Τριάδος τὴν σκοτόμαιναν λύσας, τὴν ἀκτῖνα τὴν θείαν γλυκέως ἀντεισήγαγεν. ᾗ καὶ ἡμεῖς φωτισθέντες τὰς ψυχὰς, τῶν παγίδων τοῦ ἐχθροῦ ῥυσθείημεν. Καὶ νῦν.

Τῶν Μητέρων ἀγλάϊσμα, τῶν Παρθένων ὡράϊσμα, ἱερέων καύχημα καὶ προπύργιον, Θεοπρομῆτορ Ἄννα. οἱ πιστοί σε γινώσκομεν, πρόφθασον, ἱκέτευσον Σὴν Κόρην Μαρίαν Ἁγνὴν Θεόπαιδα, ὅπως λυτρωθῶμεν τοῦ πυρὸς τῆς κολάσεως.

## Δοξολογία Μεγάλη.

Εἰς τὴν λειτουργίαν. Τυπικὰ. καὶ ἐκ τοῦ Κανόνος τοῦ Ἁγίου Εὐτυχοῦς γ΄. καὶ τοῦ Ἁγίου Κοσμᾶ ἕτερα γ΄. Ὁ Ἀπόστολος τῇ Κυριακῇ μετὰ τὰ Φῶτα. Εὐαγγέλιον. Τῷ καιρῷ ἐκείνῳ προσκαλεσάμενος ὁ Ἰησοῦς τοὺς δώδεκα Ἀποστόλους καὶ μαθητὰς αὐτοῦ. Κοινωνικόν. Εἰς μνημόσυνον. Μετὰ τὸ „Ἄξιόν ἐστιν ...., δύναται ἀναγνῶναι ἕκαστος ἐν ἑαυτῷ τὰ παρόντα δύο μεγαλυνάρια·

Μεγαλυνάριον τοῦ Ἁγίου Ἀποστόλου Θωμᾶ.

Ἀστὴρ ἀνατέταλκε φαεινὸς ἐκ τῆς Ἰουδαίας ἀπό χώρας τῆς ἱερᾶς, ἁπάσης Οἰκουμένης τὸ στήριγμα τὸ μέγα Θωμᾶς ὁ Θεοκῆρυξ Χριστιανῶν ὁ Φωστήρ.

Μεγαλυνάριον τοῦ Ἁγίου Ἰσαποστόλου Κοσμᾶ.

Ἄστρον ἀνατέταλκε φαεινὸν ἐκ τῆς Αἰτωλίας ἀπὸ χώρας θεοφιλοῦς, ἁπάσης Ἑλλάδος τὸ καύχημα τὸ μέγα, Κοσμᾶς ὁ Θεοφόρος Χριστιανῶν ὁ λαμπτήρ·

ΤΕΛΟΣ καὶ ΤΩι ΘΕΩι ΔΟΞΑ.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ... ΑΜΕΡΙΚΑΝΙΚΗ ΣΧΟΛΗ ... ΑΘΗΝΩΝ



Чerчetînd aчest manȣskris greчesk intitȣlat, Slȣjba Sfîntȣlȣĭ Sfinџitȣlȣĭ Mȣчenik шi întokmaĭ kȣ Aпostoliĭ Kosma, шi negъsindȣse întrînsȣl чeva împrotivitor reliџieĭ Ortodokse; De aчeea шi este slobod a se tiпъri.

1860 Maie 15.

*Чensor A. Lesviodakȣ.*

(Locul Peceţii)

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ
ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ